Permalink: http://gams.uni-graz.at/o:ethnos.160

## Hdt. 1,146,2-147,1

| | |
|---|---|
| Title | The Histories |
| Author | Herodotus |
| Date | 5th Cen.B.C. |
| Original text | Οἱ δὲ αὐτῶν ἀπὸ τοῦ πρυτανηίου τοῦ Ἀθηναίων ὁρμηθέντες καὶ νομίζοντες γενναιότατοι εἶναι Ἰώνων, οὗτοι δὲ οὐ γυναῖκας ἠγάγοντο ἐς τὴν ἀποικίην ἀλλὰ Καείρας ἔσχον, τῶν ἐφόνευσαν τοὺς γονέας. Διὰ τοῦτον δὲ τὸν φόνον αἱ γυναῖκες αὗται νόμον θέμεναι σφίσι αὐτῇσι ὅρκους ἐπήλασαν καὶ παρέδοσαν τῇσι θυγατράσι μή κοτε ὁμοσιτῆσαι τοῖσι ἀνδράσι μηδὲ οὐνόματι βῶσαι τὸν ἑωυτῆς ἄνδρα, τοῦδε εἵνεκα ὅτι ἐφόνευσαν σφέων τοὺς πατέρας καὶ ἄνδρας καὶ παῖδας καὶ ἔπειτε ταῦτα ποιήσαντες αὐτῇσι συνοίκεον. Ταῦτα δὲ ἦν γινόμενα ἐν Μιλήτῳ. |
| Source | Ph.-E. Legrand, Hérodote. Histoires, Buch I. |
| Source of translation | J. Feix, Herodot: Historien, Bd. 1, Buch I-V. |
| Instances | Hdt. 1,146,1-2 |
| Descriptor | settlement history |
| Coverage | Athens, Miletus |
| Ethnic Groups | Ionians |
| Editor | Anna Trattner-Handy |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |